οὐδὲν ἧττον μεταβάλλουσιν εἰς δῆμον ἐξ ὀλιγαρχίας, ἂν γίνωνται πλείους οἱ ἄποροι· καὶ ἐκ δήμου εἰς ὀλιγαρχίαν, ἐὰν κρεῖττον ᾖ τοῦ πλήθους τὸ εὔπορον· καὶ οἱ μὲν ἀμελῶσιν, οἱ δὲ προσέχωσι τὸν νοῦν. πολλῶν τε οὐσῶν αἰτιῶν δι᾽ ὧν γίγνονται αἱ μεταβολαί, οὐ λέγει, ἀλλὰ μίαν, ὅτι ἀσωτευόμενοι κατατοκιζόμενοι γίγνονται πένητες· ὡς ἐξ ἀρχῆς πλουσίων ὄντων πάντων, ἢ τῶν πλείστων· τοῦτο δ᾽ ἐστὶ ψεῦδος. ἀλλ᾽ ὅταν μὲν τῶν ἡγεμόνων τινὲς ἀπολέσωσι τὰς οὐσίας, καινοτομοῦσιν· ὅταν δὲ τῶν ἄλλων, οὐδὲν γίγνεται δεινόν. καὶ μεταβάλλουσιν οὐδὲν μᾶλλον οὐδέποτε εἰς δῆμον, ἢ εἰς ἄλλην πολιτείαν. ἔτι δέ, κἂν τιμῶν μὴ μετέχωσι, κἂν ἀδικῶνται, ἢ ὑβρίζωνται, στασιάζουσι, καὶ μεταβάλλουσι τὰς πολιτείας, κἂν μὴ καταδαπανήσωσι τὴν οὐσίαν, διὰ τὸ ἐξεῖναι ὅτι ἂν βούλωνται ποιεῖν. οὗ αἰτίαν τὴν ἄγαν ἐλευθερίαν εἶναί φησι. πλειόνων δ᾽ οὐσῶν ὀλιγαρχιῶν καὶ δημοκρατιῶν, ὡς μιᾶς οὔσης ἑκατέρας, λέγει τὰς μεταβολὰς ὁ Σωκράτης.

## ΑΡΙΣΤΟΤΕΛΟΥΣ πολιτικῶν τὸ ϛ.

### Κεφάλαιον α.

ΠΟΣΑΙ μὲν οὖν διαφοραὶ καὶ τίνες τοῦ τε βουλευτικοῦ καὶ κυρίου τῆς πολιτείας, καὶ τῆς περὶ τὰς ἀρχὰς τάξεως, καὶ περὶ δικαστηρίων, καὶ ποία πρὸς ποίαν συντέτακται πολιτείαν· ἔτι δὲ περὶ φθορᾶς τε καὶ σωτηρίας τῶν πολιτειῶν, ἐκ ποίων τε γίνεται καὶ διὰ τίνας αἰτίας, εἴρηται πρότερον. ἐπεὶ δὲ τετύχηκεν εἴδη πλείω δημοκρατίας ὄντα, καὶ τῶν ἄλλων ὁμοίως πολιτειῶν, ἅμα τε περὶ ἐκείνων εἴ τι λοιπόν, οὐ χεῖρον ἐπισκέψασθαι, καὶ τὸν οἰκεῖον καὶ τὸν συμφέροντα τρόπον ἀποδοῦναι πρὸς ἑκάστην. ἔτι δὲ καὶ τὰς συναγωγὰς αὐτῶν τῶν εἰρημένων ἐπισκεπτέον πάντων τῶν τρόπων· ταῦτα γὰρ συνδυαζόμενα, ποιεῖ τὰς πολιτείας ἐπαλλάττειν. ὥστε ἀριστοκρατίας τε ὀλιγαρχικὰς εἶναι, καὶ πολιτείας δημοκρατικωτέρας. λέγω δὲ τοὺς συνδυασμούς, οὓς δεῖ μὲν ἐπισκοπεῖν, οὐκ ἐσκεμμένοι δ᾽ εἰσὶ νῦν· οἷον, ἂν τὸ μὲν βουλευόμενον, καὶ τὸ περὶ τὰς ἀρχαιρεσίας,

A nihilominus ex paucorum transmutantur gubernatione ad popularem statum, si plures sint inopes: & ex populari in paucorum potentiam, si potentiores sint opulenti quàm multitudo: & alteri negligant, alteri intendant. Cúmque plures sint causæ, ex quibus mutationes fiunt, eas non dicit, sed vnam solum, quòd prodigaliter viuentes vsuris confecti pauperes efficiuntur, quasi verò fuerint omnes ab B initio diuites, vel plurimi eorum, sed hoc falsum. At quãdo ipsorum potentium quidam patrimonia consumpserint, res nouas moliuntur: quando autem alij, nil graue accidit, & mutantur nihilo magis in popularem statum, quàm in aliam speciem gubernationis. Insuper verò & si honores vnà cum aliis non capiant, si iniurias inferant, si contumeliis afficiant, seditiones oriuntur, & mutationes in repu- C blica, etsi nulla dissipatio patrimonij intercesserit, ex eo quòd liceat quicquid volunt efficere, cuius rei causam esse ferunt, nimiam libertatem. Cúmque plures sint paucorum, plures etiam populi gubernationes, tanquam vtraque vna sit, mutationes assignat Socrates.

D

## ARISTOTELIS Politicorum

### LIBER SEXTVS.

### CAPVT I.

QVOT igitur sint differentiæ, & quales eius quod deliberandi habet potestatem, & in quo summa reipublicæ consistit, & circa magistratuum ordinationem, & de iudiciis, & qualia ad qualem oreinentur rem- E publicam, & præterea de corruptionibus, & conseruationibus rerumpublicarum, ex quibus proueniant, & quas ob causas, dictum est prius. Sed cùm plures sint species popularis, & similiter aliarum gubernationum, de illis siquid restat, non peius fuerit considerare, ac simul vnicuique earum proprium & conuenientem modum reddere: ac præterea considerare coniunctiones simul ipsorum modorum. nam eorum coniunctio parit rerumpublica- F rum varietatem: vt & optimatum gubernationes ad paucorum declinent potentiam, & respublicæ magis populares existant. Dico autem coniunctiones, quas considerare oportet, & nunc vsque consideratæ non sunt: ceu si pars illa quæ in deliberando versatur, & illa quæ circa electiones magistratuum consistit,